μὴ λυποῦ, ἀλλὰ φέρε γενναίως. πονηρά τε μὴ βουλεύου, μη-
δὲ τρόπους κακῶν μιμήσῃ. ἐπὶ τοῖς θλιβεροῖς ὑπόμενε.
πάντα γὰρ καιρῷ ἰδίῳ ἔχει χάριν. πάντα γὰρ θάλλει, καὶ
πάλιν μαραίνεται. καιρὸς γὰρ παρέχει καὶ πάλιν ἀφαι-
ρεῖται. ξένους ξένιζε καὶ προτίμα, καὶ τοὺς ὁδίτας τίμα,
μήποτε καὶ σὺ ξένος γένῃ. ὁ ἀγαθὸς λόγος ἰατρός
ἐστι τῶν κατὰ ψυχὴν πόνων. μακάριος ὅστις ἔτυχε
γνησίου φίλου. μακάριος ὃς χάριτας καλὰς ἐκτίνειν
οἶδεν. οὐδεὶς γὰρ κακῶς πράσσοντι γίνεται καλὸς φί-
λος. πάντα δὲ τὰ καλυπτόμενα ὁ χρόνος εἰς φῶς
ἄγει. ταῦτα οὖν καὶ ἕτερα τῷ νεανίᾳ εἰπὼν αἴσωπος
ἐχωρίσθη τούτου. ὁ δὲ Αἶνος διὰ λόγων μαστιγω-
θεὶς καὶ ὑπὸ τῆς συνειδήσεως τρυχόμενος ἐπὶ τῷ
ἠδικηκέναι αἴσωπον, ἀποκρημνισάμενος ἑαυτὸν